οἳ καὶ ῥίζας ξύλων ἐμασῶντο ὑπὸ λιμοῦ μεγάλου.
5 ἐπανέστησάν μοι κλέπται,
6 ὧν οἱ οἶκοι αὐτῶν ἦσαν τρῶγλαι πετρῶν·
7 ※ἀνὰ μέσον εὐήχων βοήσονται·✓
οἳ ὑπὸ φρύγανα ἄγρια διῃτῶντο,
8 ἀφρόνων υἱοὶ καὶ ἀτίμων ὄνομα
καὶ κλέος ἐσβεσμένον ἀπὸ γῆς.
9 νυνὶ δὲ κιθάρα ἐγώ εἰμι αὐτῶν,
καὶ ἐμὲ θρύλημα ἔχουσιν·
10 ἐβδελύξαντο δέ με ἀποστάντες μακράν,
ἀπὸ δὲ προσώπου μου οὐκ ἐφείσαντο πτύελον.
11 ἀνοίξας γὰρ φαρέτραν αὐτοῦ ἐκάκωσέν με,
※καὶ χαλινὸν τοῦ προσώπου μου ἐξαπέστειλαν.
12 ※ἐπὶ δεξιῶν βλαστοῦ ἐπανέστησαν,
※πόδα αὐτῶν ἐξέτειναν καὶ ὡδοποίησαν ἐπ' ἐμὲ τρίβους ἀπωλείας αὐτῶν.
13 ※ἐξετρίβησαν τρίβοι μου,✓
ἐξέδυσεν γάρ μου τὴν στολήν·
14 βέλεσιν αὐτοῦ κατηκόντισέν με,
κέχρηταί μοι ὡς βούλεται, ἐν ὀδύναις πέφυρμαι.
15 ἐπιστρέφονται δέ μου αἱ ὀδύναι,
ᾤχετό μου ἡ ἐλπὶς ὥσπερ πνεῦμα
καὶ ὥσπερ νέφος ἡ σωτηρία μου.
16 ※καὶ νῦν ἐπ' ἐμὲ ἐκχυθήσεται ἡ ψυχή μου,✓
ἔχουσιν δέ με ἡμέραι ὀδυνῶν·
17 νυκτὶ δέ μου τὰ ὀστᾶ συγκέκαυται,
τὰ δὲ νεῦρά μου διαλέλυται.
18 ἐν πολλῇ ἰσχύι ἐπελάβετό μου τῆς στολῆς,
※ὥσπερ τὸ περιστόμιον τοῦ χιτῶνός μου περιέσχεν με.✓
19 ἥγησαι δέ με ἴσα πηλῷ,
ἐν γῇ καὶ σποδῷ μου ἡ μερίς·
20 κέκραγα δὲ πρὸς σὲ καὶ οὐκ εἰσακούεις μου,

$4^{4}$ > B*† || 6 ησαν > S*† | πετρων] pr. των A† || $8^{2}$ εσβεσμενων S*† | απο] επι A† || $9^{1}$ εγω ειμι/αυτων] tr. A†, αυτων εγενομην V† || $10^{1}$ δε > A | $10^{2}$ > S*† | πτυελου AS^c(uid.)V† || $11^{1}$ γαρ] + οδε AV† | $11^{2}$ τω προσωπω S† | εξαπεστειλαν S*B^cLa(Sy dub.)†] -λεν rel. || $12^{1}$ βλαστου] pr. του AV† | $12^{2}$ ποδας pl. | αυτου εξετεινεν S pl. | ωδοποιησεν S^c pl. || $13^{2}$ εξεδυσαν BA | μου την στολην] με την στ. μου AV† || $14^{1}$ βελεσιν] + γαρ V†, βελος γαρ S*† | $14^{2}$ κεχρ.] + δε A | εβουλετο AV† || $15^{1}$ δε > BS*† | $15^{3}$] + παρ ;λθεν AV† (in *O* sub ※) || $17^{1}$ νυκτι ... συγκεκαυται(BS† χ pro κα)] νυκτες ... συνεθλασαν AV† | $17^{2}$ τα δε] και τα AV†: cf. 3 12 || $18^{1}$ εν > AV† || $19^{1}$ ηγηται A | δε > S*† | $19^{2}$ μου/η μερις] tr. A || $20^{1}$ εισακουεις] εισ > B†, -κουση S†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/323 UNIVERSITÄT LEIPZIG